Ε.Κ.Π.Α. – Φιλοσοφική Σχολή
Τμήμα Ιστορίας και Αρχαιολογίας
Εξάμηνο: Α΄
ΠΜΣ «Αρχαιολογία και Ιστορία του Αρχαίου Κόσμου» Σεμινάριο «Ιδιωτικά σωματεία και συσσωματώσεις με επίκεντρο το γυμνάσιο στις αρχαίες ελληνικές πόλεις (2ος αι. π.Χ.-3ος αι. μ.Χ.)»
Χριστοφορίδης Διονύσης: Η σχέση της γυναίκας με τον θεσμό της Γερουσίας στη περιοχή της Μικράς Ασίας από τον δεύτερο αιώνα π.Χ. μέχρι τον τρίτο αιώνα μ.Χ.

# Πηγές που αφορούν τη σχέση της Γερουσίας με τη γυναίκα

## 1. Τιμητικά ψηφίσματα Γερουσίας για τη προσφορά γυναικών

**Τιμητική επιγραφή από την Ηράκλεια Σαλβάκη της Καρίας, Robert, La Carie II no. 67, 54-68 μ.Χ.**
[ἡ βουλὴ κ]α̣ὶ ὁ δῆ[μος] κ̣αὶ ἡ̣ γερουσία vacat ἐτείμησαν ❦ Τα̣την θ̣υγατέρα Γλύκωνος τοῦ Γλύκωνος, στεφανηφόρου δὶς καὶ γυμνασιάρχου, ἱερατεύσαντος δὲ καὶ τοῦ Ἡρακλέους καὶ προγραφέντος τῆς βου- λῆς, ἁγνήν, γυμνασιαρχήσασαν καὶ διὰ .τ[ὴν] περὶ τὸν βίον σωφροσύνην ἀξιωθῖσαν το[ῦ] ἱερωτάτου τῶν γερεῶν συστήματος πρώτη γυνεικῶν, ἐστεφανηφορηκυῖαν λαμπρῶς καὶ δεδωκυῖαν ἰς τὴν κατασκευὴ[ν] τοῦ σεβαστοῦ Ἡρακλίου ὑπὲρ μὲν τοῦ ἐπ̣[ικε]- φαλίου τῶν πολιτῶν δισχ[ίλ]ια τριακόσια τεσ[σα]- ράκοντα.

**Τιμητική επιγραφή από τη Λαγινία της Καρίας, IStr 538, αυτοκρατορική περίοδος**
[ὁ δῆμος καὶ αἱ βουλαὶ καὶ ἡ] γερουσία [ἐτείμησαν —]ν Ἀγριππιανὴν [— δευ]τέραν κλιδοφο- [ρήσασαν εὐσεβῶς μὲν] πρὸς τὴν θεόν, [φιλοτείμως δὲ πρὸς πάν]τας ἀνθρώπους

**Τιμητική επιγραφή από την Αφροδισιάδα της Καρίας, CIG 2786, ll. 21-32, αυτοκρατορική περίδος**
ὁμοίως ἐτείμησεν ἡ βουλὴ καιὁ δῆμος καὶ ἡ γερουσία ταῖς καλ-λίσταις καὶ πρεπούσαις τειμαῖς καὶ Ἀντωνίαν, Λ(ουκίου) Ἀντωνίου Φλαβι-ανοῦ θυγατέρα, Φλαβιανὴν ἱέρει-αν Ἀρετῆς, τὴν Ποτειτιανοῦ γυναῖκα, φίλανδρον φιλότε<κ>νον,ζ<ῶ>σαν κοσμίως, ὡς μαρτυρεῖσ<θαι>ὑπὸ πάντων ἐπὶ τῇ σωφροσύν[ῃ·] τὴν δὲ τειμὴν τὴν ἰδίαν ἀνέσ-τησεν ἑαυτῇ ἐκ τῶν ἰδίων vacat ζ<ῶ>σα. ❦

**Τιμητική επιγραφή από την Αφροδισιάδα της Καρίας, MAMA 8, no. 492b, δεύτερο μισό πρώτου αιώνα**
ἡ βουλὴ καὶ ὁ δῆμος καὶ ἡ γερο[υσία]ἐτείμησαν ταῖς πρώταις τειμα[ῖς]Τάταν Διοδώρου τοῦ Διοδώρου το[ῦ φύ]-σει Λέοντος, ἁγνὴν ἱέρειαν Ἥρας διὰ βίου, μητέρα πόλεως, γυναῖκα γενομένην καὶ μείνασαν Ἀττάλου τοῦ Πυθέουστεφανηφόρου, καὶ αὐτὴν γένους πρώ-του καὶ λαμπροῦ, ἱερατεύσασαν τῶνΣεβαστῶν ἐκ δευτέρου ἀλείψασαν δὶς δρακτοῖς ἐκ λουτήρων ἐπιρύτοιςδαψιλέστατα τὸ πλεῖστον μέρος καὶ τῆςνυκτός, στεφανηφορήσασαν, θύσασανπαρ’ ὅλους τοὺς ἐνιαυτοὺς ὑπὲρ τῆς ὑγή-ας τῶν Σεβαστῶν, ἑστιάσασαν τὸν δῆμον πλεονάκις καὶ πανδήμοις κατακλίσεσιν,ἔν τε τοῖς θυμελικοῖς καὶ σκηνικοῖς ἀγῶ-σιν τὰ πρωτεύοντα ἐν τῇ Ἀσίᾳ

ἀκροά-ματα αὐτὴν πρώτως ἀγαγοῦσαν καὶ δεί-ξασαν τῇ πατρίδι, ὡς ἐπὶ τὴν δεῖξιν τῶν ἀκροαμάτων συνελθεῖν καὶ συνεορτά-σαι τὰς ἀστυγειτνιώσας πόλεις, γυναῖκαμηδενὸς ἀναλώματος φεισαμένην, φι-λόδοξον, ἀρετῇ σωφροσύνῃ κεκοσμημένην.

**Τιμητική επιγραφή από Έφεσο, IEph 987, 27 π.Χ.-μ.Χ.**
[ἡ βουλὴ] καὶ ὁ δῆ[μ]ος[ἐτε]ίμησαν[Οὐειψαν]ίαν Ὀλυμπιά-[δα, Λου]κίου Οὐειψανί- [ου Νέω]νος υἱοῦ Κορνη-[λία] Ἀπελλήους καὶ[Κλαυ]δίας Πυθοῦ θυ-[γατρ]ὸς Πολεμωνί-[δος θυ]γατέρα, ἱερατεύ- [σασαν] τῆς Ἀρτέμιδος [ἱεροπρε]πῶς τά τε μυσ-[τήρια κ]αὶ τὰς θυσίας[ἀξίως] ἐπιτελέσασαν[καὶ κ]αταστέψασαν [τόν τ]ε ναὸν καὶ τὰ πε-[ρὶ αὐτ]ὸν πάντα ἐν ταῖς[ἐπιφαν]εστάταις τῆς θε-[οῦ ἡμέρ]αις, ποιήσασαν[τὰς δη]μοτελεῖς θυσί- [ας καὶ] διανείμασαν [τῇ] [β]ουλῇ καὶ τῇ γερου[σίᾳ,][ἐπ]ιδοῦσαν εἰς ἐπι[σ]-[κε]υὴν τῆς βασιλικῆς δη(νάρια)πεντακισχείλια, ἱε- [ρα]τεύσασαν ἐπὶ πρυτά-[νεω]ς Γαΐου Λικιννίου[Δι]ονυσοδώρου.

**Τιμητική επιγραφή από Έφεσο, IEph 988, 27π.Χ.-μ.Χ.**
ἡ βουλ[ὴ καὶ ὁ δῆμος]ἐτε[ίμησαν]Οὐε[ιψανίαν]Πῶλ[λαν —] μένη[ν] Λουκ[ίου Οὐειψανίου]Νέωνος [υἱοῦ Κορνη]-λία Ἀ[πελλήους]καὶ Κ[λαυδίας Πυθοῦ] θυγα[τρὸς Πολεμω]-νίδο[ς θυγατέρα, ἱερα]-τεύ[σασαν τῆς Ἀρ]-τέμ[ιδος ἱεροπρεπῶς] τά τ[ε μυστήρια καὶ τὰς] θυσ[ίας ἀξίως ἐπιτε]-λέσ[ασαν καὶ καταστέ]-ψασ[αν τόν τε ναὸν]καὶ [τὰ περὶ αὐτὸν πάν]-τα [ἐν ταῖς ἐπιφανεσ]-τά[ταις τῆς θεοῦ ἡμέ]-ρα[ις, ποιήσασαν τὰς δη]-μοτ[ελεῖς θυσίας καὶ]δι[ανείμασαν τῇ βουλῇ]κα[ὶ τῇ γερουσίᾳ, ἐπιδοῦ]- σα[ν εἰς ἐπισκευὴν τῆς] βα[σιλικῆς δηνάρια] πε[ντακισχείλια, ἱερ]-α[τεύσασαν ἐπὶ πρυτά]-[νεως —]

**Τιμητική επιγραφή από τη Φρυγία, BCH 17.1893.280,79, αυτοκρατορική περίοδος**
ἡ γερουσία Κλ. Λωρεντίαν ἀρχιέρειαν τῆς Ἀσίας, ἐπιμελη- θέντων τῆς ἀ-ναστάσεως Οὐαλερίων Κορ-ουείνου καὶ Φρόν-τωνος ❦ ἀρχόντων.

**Τιμητικό ψήφισμα από το Σίλλυον της Παμφυλίας, IGR 3800, 150-200 μ.Χ.**
[ἡ βο]υλὴ καὶ ὁ δῆμος ἐτείμησε Μεγακλέα Μεγακλέους, φύσει Ἀπολλωνίου τρὶς Μεγακλέους, δημιουργὸν καὶ γυμνασίαρχον, ἐπιδόντα δι-ὰ τῆς μητρὸς Μηνοδώρας ἐν τῷ ἔτει τῆς δημιουργίδος αὐ-τοῦ διανομῆς ἑκάστωι βου-λευτῇ (δην.) κ´, γεραίωι δὲ καὶ ẹ[κ]- κλησιαστῆι ἀνὰ (δην.) ιη´, πολείτ[ῃ]δὲ ἀνὰ (δην.) β´, ἀπ[ε]λευθέροις δὲ καὶπαροίκοις ἀνὰ (δην.) α´, ἔτι ἐπιδόντα δι-ὰ τῆς μητρὸς καὶ εἰς τροφὰς παίδων ἀργυρίου μυ(ριάδας) λ´· ἥτις κατεσκεύασε τόν τε ναὸν καὶ τὰ ἐν τῶι ναῶι ἱε[ρὰ], τά τε ἀργύρεα τρία ἀπὸ μυ(ριάδων) α´ καὶ (δην.) [ ̦α], καὶ τὸ τῆς Τύχης ἱερὸν ἀκρελε-φάντινον ἐπίχρυσον σὺν τοῖςπαρέργοις περὶ τὴν βάσιν κα[ὶ] τὴν ἀργύρεον τράπεζαν καὶ τὰπλινθεῖα καὶ τὰς στοὰς καὶ τὸν ἀνδριάντα, πάντα εἰς μνήμην καὶ τειμὴντοῦ υἱοῦ αὐτῆς.

**Τιμητικό ψήφισμα από το Σίλλυον της Παμφυλίας, IGR 3.801, 150-200 μ.Χ.**
[ἡ γ]ερουσία καὶ ὁ δῆμος ἐτ[είμη]-[σεν] ἱέρειαν θεῶν πάντων καὶ [ἱε]-[ρο]φάντιν διὰ βίου καὶ δεκά[πρωτον] Μηνοδώραν Μεγακλέους, [δημι]- ουργὸν καὶ γυμνασίαρχον [ἐλαί]-ου θέσει, θυγατέρα δημιουρ[γοῦ καὶ] δεκαπρώτου καὶ γυμνασιά[ρχου] ἐλαίου θέσει, ἐπιδοῦσαν ὑ[πὲρ]τοῦ υἱοῦ Μεγακλέους τῇ π[ατρί]-δι εἰς παίδων τροφὰς ἀργυρ[ίου]μυρίαδας τριάκοντα, ἔτι ἐ[πιδοῦ]-σαν ἕν τε τῇ ἰδίᾳ γυμνασια[ρχίᾳ]καὶ τῇ τοῦ υἱοῦ δημιουργί[δι καὶ]τῃ ἰδίᾳ δημιουργίδι καὶ τῇ [τῆς]

θυγατρὸς γυμνασιαρχίᾳ [βου]-[λ]ευτῇ μὲν ἑκάστωι δηνάρια πε΄, γε[ραιῷ]δὲ ἑκάστωι (δην.) π΄, ἐκκλησιαστ[ῇ]δὲ ἑκάστῳ (δην.) οζ΄, γυναιξὶ δὲ το[ύ]-των ἑκάστῃ (δην.) γ΄, πολείτῃ δὲ ἑ[κά]- στῳ (δην.) θ΄, οὐινδικταρίοις δὲ κ[αὶ]ἀπελευθέροις καὶ παροίκοις [ἀ]-νὰ (δην.) γ΄· τόνδε ἀνδριάντα ἀν[έ]-στησεν φυλὴ ι΄ Μεαλειτίδων.

**Τιμητικό ψήφισμα από το Σίλλυον της Παμφυλίας, IGR 3802, 150-200 μ.Χ.**

[ἡ β]ου[λὴ καὶ][ὁ δῆμος] ἐτείμησενἀρχιέρειαν τῶν Σεβασ-τῶν, ἱέρειαν Δήμητρος καὶ θεῶν πάντων καὶ ἱερο-φάντιν τῶν πατρίων θεῶ[ν]καὶ κτιστρίαν καὶ δημιουργ[ὸν]καὶ γυμνασίαρχον ἐλαίου θέ-[σει Μ]ηνοδώραν Μεγακλέους τ[ε]- [λεσαμ]ένην δεκαπρωτίαν, θυγα[τέ]-[ρα καὶ] ἐγγόνην καὶ ἀπόγονον[ἀρχιερέ]ων καὶ δημιουργῶν [καὶ][γυμνασ]ιάρχων ἐλαίου θέσει καὶ δεκαπρώτων, ἐπιδοῦσαν ἔν τε τ[ῇ] δημιουργίδι καὶ τῇ γυμνασιαρχ[ίᾳ]καὶ τῇ ἀρχιερωσύνῃ καὶ ταῖς ἱε-ρωσύναις καὶ ἐν τῇ τοῦ υἱοῦ δ[ημι]-ουργίδι καὶ ἐν τῇ τῆς θυγατρὸς [γυ]-μνασιαρχίᾳ ἑκάστῳ βουλευτ[ῇ] ἀνὰ (δην.) πη΄ ❦ καὶ σείτου μό(διον) α΄,γέραιῷ δὲ ἑκάστῳ (δην.) πα΄ καὶ[σ]είτου μό(διον) α΄, ❦ ἐκκλησιαστῇ δὲ[ἑ]κάστῳ (δην.) οη΄, καὶ σείτου μό(διον) α΄,γυναιξὶ δὲ τούτων ἑκάστῃ (δην.) γ΄, [οὐι]νδικταρίοις δὲ καὶ ἀπελευθέροις[ἑκ]άστῳ (δην.) δ΄, ❦ ἔτι ἐπιδοῦσαν ὑπὲρ τοῦ[υἱο]ῦ αὐτῆς Μεγακλέους τῇ πατρίδι [εἰς][παί]δων τροφὰς ἀργυρίου (δην.) μυ(ριάδας) λ΄.

**Τιμητικό ψήφισμα από τη Τερμησσό της Πισιδίας, BCH 24 (1900) 338,1, αυτοκρατορική περίοδος**

[Τ]ερμησσέων τῶν πρ[ὸς]Οἰνοάνδοις ἡ βουλὴ καὶ [ὁ]δῆμος καὶ ἡ γερουσία ἐτε[ί]-μησεν εἰκόνι χαλκῇ τὴν ἀξιολογωτάτην Μαρκί-αν Αὐρηλίαν Πολύκλειαν Μόλητος Μαυσώλου Μόλητος, γυναῖκα τοῦ ἀξιολογωτάτου Μάρκου Αὐρηλίου Ἀρτέμωνος β΄ Ἀπολλωνίου, μεγαλοφροσύ-νῃ διαπρέπουσαν, δωρησαμέ-νην καὶ συστησαμένην μετὰ τοῦ ἀνδρὸς εἰς τὸν πάντα χρόνον καὶ αἰῶνα ἐξ οἰκείας φιλο- 1 τειμίας ἀγῶνας θυμελικόν [τε]καὶ γυμνικὸν ἔκ τε Λυκίων πάν-των καὶ τῆς ἀνέκαθεν συνγενί-δος ὑπαρχούσης Τερμησσέων τῆς Πανφυλίας καὶ τῆς Καισα-ρέων Κιβυρατῶν τῆς Ἀσίας τῶν λαμπροτάτων πόλεων, ἀνδριάντων καὶ θεμάτων ἆθλα θεμένην, ὁρίσασαν ἐντῷ χρόνῳ τῆς πανηγύρεως διανομῆς· τοῖς μὲν πεντακο-σίοις ἀνὰ (δην.) δέκα, τοῖς δὲ δημό-ταις ἀνὰ (δην.) δύο, καὶ σεβαστο-φόροις διενεκεῖσι καὶ <ἰ>δίᾳ τοῖςἑξῆς αἱρουμένοις πρὸς ἡμέρας τρεῖς σεβαστοφόροις καὶ μαστει-γοφόροις ἑκάστῳ ἡμερήσιον(δην.) ἕν, εὐνοίας χάριν ἀμει-ψαμένη.

**Λίστα με δωρεές προς το σώμα της Γερουσίας από την Έφεσο, IEph 47 1-37, αυτοκρατορική περίοδος**

ἐπὶ πρυτάνεως· Μ(άρκου)· Αὐρ(ηλίου)· Μενεμάχουτοῦ καὶ ἀνανεωσαμένου· τὸ ἱερὸν συν-έδριον τῶν κουρήτων· δόντος· διανομὰς ὅσας καὶ τῇ γερουσίᾳ <[61]>[61][[51]Κομμοδιανῇ][51] ἐπὶ ἀρχόντων Φίλωνος· β΄· τοῦ Ἑρμολάουφιλοσεβ(άστου)· καὶ· Ἑρμεία· β΄· Ἀπολλωνίουὅσοι καθιέρωσαν πρυτάνεις τοῖς κεκουρητευκόσιν·Πό(πλιος)· Οὐήδ(ιος)· Ἀντωνῖνος· συνκλ(ητικὸς) ͵α·Οὐηδ(ία)· Φαιδρεῖνα σὺν καὶ ͵α τοῖς· υἱοῖς· Τ(ίτῳ)· Φλ(αουίῳ)· Δαμιανῷ καὶ· Τ(ίτῳ)· Φλ(αουίῳ)· Ἀντωνίνῳ κουρῆσιν· αὐτῆς. Κλ(αυδία)· Ἀντωνία vacat ͵α·Τ(ιβέριος)· Κλ(αύδιος)· Κλεόβουλος vacat σν΄· Κορν(ηλία)· Πώλλα vacat φ΄·Οὐηδ(ία)· Παπιανή vacat σν΄·Φάβιος· Φαυστεινιανός vacat σν΄·Τερεντία· Φλαβιανή vacat σν΄·Τερεντία· Αἰλιανή vacat σν΄·Ἰουλ(ία)· Δαμιανὴ Πώλλα vacat σν΄·Βηδία· Ἰοῦστα· vacat τ΄·Ἀλέξανδρος· β΄· τοῦ Διήους·Διῆς· Ἀλεξάνδρου· τοῦ Διήους.Ἑκατώνυμος· γ΄· Βᾶρος vacat σν΄· Κωκᾶς· τρὶς vacat φ΄·Αὐρ(ήλιος) Μενέμαχος vacat σν΄·Κλ(αυδία)· Κράτεια Οὐηρια-νὴ συνκλητικὴ

vacat ͺα·καὶ· ὁ θρέψας· αὐτῆς· καὶ κούρης· Τ(ίτος)· Φλ(άουιος) Ὀνησᾶς· vacat · τ΄·Ἀλέξανδρος· Διήους· πατὴρ· πρυτάνεων··κουρῆτες··Αὐρ(ήλιος)· Μενέμαχος· νε(ώτερος)··Ἀσκληπιάδης· β΄· το(ῦ)· Ἀττάλου· Ἀντωνῖν[ος —·]

**Τιμητικό ψήφισμα από την Ιεράπολη της Φρυγίας, SEG 33:1123 πρώτο μισό τρίτου αιώνα μ.Χ.**

1 ἡ νεωκόρο[ς βο]υλὴ καὶ ὁ λα[μ]-πρότατ[ος δῆ]μος καὶ ἡ σ[ε]-μνοτά[τη γερ]ουσία #[56] ἐτεί-μησαν Μελιτίνην Ἀρτε-μᾶ Νικήτου, κοσμίῳ βίῳ χρη-σαμένην, πατρὸς καὶ προγόνων τοῦ βουλευτικοῦ τάγματος καὶ φι-λοτείμων περὶτὴν πατρίδα, καταλελοιποίαν ταῖς #[56] ἱερείαις τῆς Γερουσίας στε-φανωτικόν,ἐφ’ ὧ τῷ πρώτῳ ἔτει δίδωται ἀπὸ τοῦ πρώτουπυ(ξίου) ἕως ζ΄, #[56] καὶ τῷ ἑξῆς ἀπὸ τοῦ ὀγδόου πυ(ξίου) ἕωςιε΄, #[56] καὶ τοῦτοεὶς ἀεὶ φυλάσ-σεσθαι #[56], ἀπὸ προ-σόδων ἐ<ν>οικίωνοἰκίας καὶ ταβερν<ῶ>[ν]καὶ κηπίου, #[56] αἱρέσεσικαὶ δικαίοις πρὸς καὶ προστείμοις.

**Περίπτωση της Ιουλίας Αντωνίας Ευριδίκης από τη Νύσα της Μικράς Ασίας, SEG IX 402-408, δεύτερος αιώνας μ.Χ.**

*Μάρκον Αϊλιον [Αύρή λι]ον Ούήρον Καίσ[αρα], \ Αύτοκρά-*
*τορος Ά[ντω]\νίνον Εύσεβοϋς [υιόν], || 19·εον Αδριανοϋ ύω[νόν], |*
*'Ιούλιος Άντωνΐνο[ς] | Πν&όδωρος έκ διαθή κης 'Ιουλίας Άντω-*
*νίας* I *Ευρυδίκης τής αύτοϋ || μητρός.*

*[Λεύκιον Αϊλιον Αύρή\λιον Κόμμοδον Καίααρα, \ Αύτ]οχρά-*
τ[ορος I *Καίααρο]ς Τίτον Αϊλ[ίον | Άδριαν]οϋ Άντωνί[νον ||*
*Σεβα]στοϋ Ενσεβοϋς* I *[υί]όν, ·&εοϋ 'Αδριανοϋ | 8κγονον, \ Ί(ού-*
λιος) *Άντωνϊνος Πυϋ'όδωρος | έκ δια&ήκης Ί(ουλίας) 'Αντωνίας*
ίο *Εύ\\ρυδίκης τής αύτοϋ μητρός.*

*Φαυστεΐναν, Αύτοκράτο ρος Καίσαρος Τίτου ΑΙλίου \ 'Αδριανοϋ*
*Άντωνίνου Σε βαατοϋ Εύαεβοϋς καϊ ΰεάς || Φαυατείνης θυγα*
*τέρα, \ 'Ιούλιος Άντωνϊνος Πυϋ·ό\δωρος έκ διαθήκης Ίουλί\ας*
*Αντωνίας Ευρυδίκης \ τής αύτοϋ μητρός.*

*Φαυατϊναν, Μ. Αύρ. Ούήρου \ Καίσαρος θυγατέρα καϊ *
*Φαυστίνης, Αύτοκράτο ρος Καίσαρος Τ. ΑΙλίου Άδρια\\νοϋ*
*Άντωνίνου Σεβαα τοϋ Εύσεβοϋς θυγα τρός, | Ί(ούλιος) Άντω νϊ-*
*νος Πυθόδω ρος έκ διαθήκης 'Ι(ουλίας) Άν\\τωνίας Εύρυδίκης *
*τής αύτοϋ μητρός.*

*[Σ]έξτον 'Ιούλιον | Μαΐορα Άντωνϊνον ) Πυθόδωρον, ύόν *
*'Ιουλίου Μαΐορος ύ\\πάτου, έκ διαθήκης \ 'Ιουλίας Αντωνίας *
*Εύρυδίκης τής \ μητρός.*

*Ιουλίαν Ίο υ [λ ι----, θυ]\γατέρα Ίου[λίου Μαΐορος] | ύπάτου,*
*Ίού[λιος Άντω]\νϊνος Πυθ[όδωρος τήν] || αύτοϋ άδε[λφήν έκ*
*δια] θήκης Ίου[λίας Ά ντω ] νίας Εύρυ[δίκης τής αύτοϋ]*
*μη[τρός]*

[- - I *Άντωνϊν]ον \ [Σεβαστόν Εύσ]εβή | [^Ιούλιος Άντων]ΐνος |*

*[Πυθόδωρος ἐκ δι]α\\[θήκης Ἰουλίας Αντωνίας* **κτλ.**]

## 2. Τιμητικά ψηφίσματα Γερουσίας σε γυναίκες λόγω προσφοράς των οικογενειών τους

**Τιμητική/αναθεματική επιγραφή από την Ιασό της Καρίας, IIasos 97, αυτοκρατορική περίοδος**

ἡ βουλὴι καὶ ὁ δῆμος καὶ ἡ γερουσία ἐτείμη- σαν Σερβαίαν, Κοΐντου Σερβαίου Ἀλεξάνδρου θυγατέρα, Μητροδώραν Τατίαν, ἔκγονον Ἀλεξάν- δρου τρίς· ζήσασαν ἐνα- ρέτως, ἠθῶν ἕνεκα καὶ φι- λανδρίας καὶ τῆς τῶν προγόνων αὐτῆς εἰς τὴν πατρίδα ἀνυπερβλήτου φιλοτειμίας. ❦

**Τιμητική επιγραφή από τις Τράλλεις της Καρίας, ITral 88, περίπου τον δεύτερο αιώνα μ.Χ.**

[ἡ] βουλὴ καὶ ὁ δῆ-μος καὶ τὸ ἱερὸν σύστημα τῆς γε-ρουσίας ἐτίμησαν Λουκιλίαν Γ(αΐου) Λουκι-λίου θυγατέρα Λαυ-δίκην τὴν ἀρχιέρει-αν διὰ τὰς τοῦ γέ-νους αὐτῆς φιλοτι- μίας· Πό(πλιος) Αἴλιος Βᾶσσος Χρυ-σέρως στεφανηφορή-σας, ἀρχιερατεύσας καὶ τὰς λοιπὰς ἀρχὰς καὶ λιτουργίας τελέσας τὴν ἑαυτοῦ μητέρα.

**Τιμητική επιγραφή από τη Σμύρνη, ISmyrn 644, δεύτερος με τρίτος αιώνας μ.Χ.**

ἡ βουλὴ καὶὁ δῆμος ἐτεί-μησε Κλ(αυδίαν) Παυλεῖ-ναν, θυγατέρα Κλ(αυδίου) Παυλίνου ἱππάρχου,πρυτάνεως, ἀγορα-νόμου, ταμίου, βου-λάρχου, γυμνασιάρ-χου, στρατηγοῦ ἐπὶ τῶν ὅπλων, νεωκό-ρου, γραμματοφύλα-κος, δεκαπρώτου, γραμματέως Ὀλυμπί-ων. ἀνάκεινται δὲ ἐν τῷ <ἱ> ερῷ δύο εἰκόνες Κλ(αυδίας) Παυλείνης, ἀργύρεος κα[ὶ][χ]ρύσ<εος.> τῆς τειμῆς προνο-οῦσιν οἱ ὑμνῳδοὶτῆς γερουσίας καὶ ὁ ἀδελφὸς Κλ(αύδιος) Παυ- λειανός

**Τιμητικό ψήφισμα από τη Σίδη της Παμφυλίας, IK Side 109 τέλη τρίτου αιώνα μ.Χ.**

Κυρεινίαν Πάτραν τὴν κρα-τίστην γυναῖκα Βρυωνιανοῦ Λολλιανοῦ τοῦ κρατ(ίστου) δουκηνα-ρίου ἀπὸ ἐπιτρόπων, πριμιπι- λαρίου, κτίστου καὶ φιλοπά-τριδος καὶ ἐν πᾶσιν εὐεργέτουτῆς πατρίδος, θυγατέρα καὶ ἐγγό-νην ὑπατικῶν, γερουσία τοῦ Με-γάλου Συνεργίου τὴν φιλόπατριν. εὐτύχει Πηγασί.

**Τιμητική επιγραφή από τη Τερμησσό της Πισιδίας, BCH 24 (1900) 341,3**

Τερμησσέων τῶν πρὸς Οἰνοάνδοις ἡ βου-λὴ καὶ ὁ δῆμος καὶ ἡ γε-ρουσία ἐτείμησεν ἀν- δριάντος ἀ[ν]αστάσειτὴν κρατίστην συγκ-λητικὴν Γ. [Ἰο]υλ[ίαν] Δε-[..]ιτιν Κα[τιδι]ανοῦ.

**Τιμητική επιγραφή από τη Τλω της Λυκίας TAM II 594 , 98-99 μ.Χ.**

Ἰουλίαν Τερτύλλαν, γυναῖκα Ἰουλίου Μαρεί-νου τοῦ δικαιοδότου,Τλωέων ἡ βουλὴ καὶ ἡ γε- ρουσία καὶ ὁ δῆμος.

## 3. Τιμητικά ψηφίσματα Γερουσίας από κοινού σε άντρες και γυναίκες

**Τιμητική επιγραφή από τη Λαγινία της Καρίας, IStr 668, 117-138 μ.Χ.**

1 [ὁ] δῆμος καὶ ἡ βουλὴ καὶ ἡ γερου[σία ἐτείμησαν]διὰ ψηφισμάτων Μ(ᾶρκον) Οὔλπιον, Ἀρίστωνος [υἱ]όν, [Κυ]-ρείνα, Ἀλέξανδρον Ἡράκλειτον Κο(λιοργέα) καὶ Οὐλπίαν,[Διο]νυσοκλέους θυγατέρα, Ἄμμιον Κο(λιοργίδα) ἱερατεύσαν- [τα]ς εὐσεβῶς καὶ φιλοτείμως καὶ μετὰ τὰ λοιπά,[τ]ὰ ἀναλώματα καὶ τὰς ἑστιάσεις, καὶ γυμνασιαρ-[χίας] ἃς ἐτέλεσαν ἐν ταῖς [ἐπισ]ήμοις καὶ ἑορτασί-μοις τ[ῆς θεοῦ ἡμέραις, καὶ τὸ μισθώσασθαι] δι᾽ ὅλου [τοῦ] ἔτους [πάντα τὰ ἐπιδημήσαντα ἀκροά]- ματα, καὶ τὸ συνλαβέσθαι π[ᾶσι τοῖς δεομένοις,]κατασκευάσαντας ἐκ τῶν ἰδίων ἔν τε [τῇ ἱερᾷ οἰκίᾳ τὰς τρῖς στοὰς]μετὰ τοῦ προπύλου τοῦ πρὸ τῆς εἰσόδου, [καὶ τὴν πρὸ τῆς οἰκίας πρὸς]τῇ βιοτικῇ ἀγορᾷ στοάν, καὶ τὰ ἄλλα πάντ[α τελέσαντας ἀξίως]καὶ τῶν γονέων καὶ τῶν προγόνων.

**Ιερή επιγραφή από τα Πανάμαρα της Καρίας, IStr 270, αυτοκρατορική περίοδος**
1 [ἱε]ρῆς ἐξ ἐπα̣[ν]-[γελίας ἔ]τη δύο Θεόφι-[λος Θεοφ]ίλου Ἱε(ροκωμήτης), ἱέριαΤρυ[φέρα] Γ̣αΐου Κω(ραΐς) ἀνύ- ξαντε[ς] δὲ καὶ τὸ ἱερὸ[ν]ἀριστη[τή]ριον τοῦ θεοῦπάσῃ [τύ]χ̣ῃ καὶ πάσῃ ἡλι-κίᾳ καὶ τ[οῖ]ς ἐπιδημήσα-[σιν] ξ̣έ[ν]οις μετὰ πάσης [πρ]οθ[υ]μίας καὶ πολυτε-[λ]ίας, ἐδεξιώσαντο δὲ[κ]αὶ τὴν γερουσίαν ἐν τ[ῇ][π]όλι δ[ί]πνῳ ἀποφορήτῳ·συνφ[ι]λοτιμηθέντων καὶ συνευσεβησάντωνἐν πᾶσιν καὶ τῶν τέκνωναὐτῶν Θεοφίλου καὶ Θεοδώρου.

**Τιμητική επιγραφή από τα Πανάμαρα της Καρίας,IStr 237, 166-169 μ.Χ.**
1 ἱερεὺς ἐν Ἡραίοις ἐξ ἐπ[ανγελί]-ας μετὰ ἀρχιερωσύνη[ν τελείαν]καὶ γυμνασιαρχίαν Μ[ᾶρκος Οὔλπι]-ος, Λέοντος υἱός, [Κυρείνα, Ἀρίστων] Κο(λιοργεύς), φιλόπατρις· ἱέρια τὸ [δεύτε]-ρον μετὰ ἀρχιερωσύνην καὶ κλε[ι]-[δ]οφορίαν τῆς Ἑκάτης Αἰλία Λέ-[ο]ντος θυγάτηρ, Τρύφαινα Δρα-κοντίς, πληρώσαντες πάντα δι᾽ ὅ̣λου [το]ῦ ἐνιαυτοῦ καὶ τὰ πρὸς τοὺς θ[εοὺ]ς εὐσεβῶς καὶ τὰ πρὸς τοὺς ἀνθρώπους φιλοτίμως καὶ πλουσίως, ἔδωκαν καὶ τοῖς βουλευταῖς καὶ τοῖς μετέχουσι τῆς γερουσίας πρῶτοι ἀνὰ γ´·συμφιλοτιμο υμένων καὶ τῶν τέκνων αὐτῶν Οὐλπίων Ἀρισ-τίππου, Ἀπφίου, Ἡρακλίτου, Ἀμ[μί]-ας, Ἀρίστωνος, καὶ τοῦ ἀδελ[φοῦ] τοῦ ἱερέως Ἀλεξάνδ[ρου το]ῦ Λέ-οντος τοῦ Ἑκαταίου [Κο(λιοργέως)] καὶ τῆς μητρὸς τῆς ἱερείας Δρακοντί-δος τῆς Διομήδους θυ(γατρὸς) Ἀμμίας.

## 4. Αναθηματικές επιγραφές

**Τιμητική/αναθεματική επιγραφή από τις Ερυθρές της Ιωνίας, SEG 37, 938.**
1 [—]ος Μενεκράτο[υ,][χα]ῖρε·<[67]ὁ δῆμος>[67]<[67]ἡ γερουσία>[67] Μητροφίλη Κλεάνθουχρηστή, χαῖρε·<[67]ὁ δῆμος.>[67]

**Αναθεματική επιγραφή από τη Σμύρνη, ISmyrn 211**
1 Ἄμιλλα Ματρέου ζῶσα κατεσκεύασ-ε ἑαυτῇ καὶ τῷ συνβίῳ Ἀσκληπιάδῃ τ-ὸ μνημεῖον καὶ τοῖς θρέμμασι καὶἐγγόνοις αὐτῶν καὶ θρέμμασι. εἰ- ς τὴν σορὸν δέ μου μηδένα ἕτερ-ον βληθῆναι, εἰς ἣν ἔνεστι ὁ σ̣ύν-βιός μου, πλὴν ἐμοῦ. ἐὰν δέ τις βά-λῃ, δότω τῇ Ζμυρναίων γερουσίᾳ < >͵α. Τάτιον δὲ Ἀσκληπιάδου, ἐὰν βού- ληται τεθῆναι εἰς τὸ μνημεῖον, θεῖσα σορ-ὸν ἑαυτῇ βληθήσεται μόνη· καὶ οὐκ ἐξέστ-αι αὐτῇ ἄλλ<ο>ν θεῖναι οὐδένα οὔτε κληρον-όμοις αὐτῆς εἰς τὸ μνημεῖον. ἐὰν δὲ ἕτ-ερόν τις θῇ εἰς τὴν σορὸν αὐτῆς, ὁμοίω- ς δώσει τῇ γερουσίᾳ ͵α. ἐπιτρέπω δὲ τ-οῖς θ̣ρέμμασί μου, ἐὰν βούλωνται, σοροὺ-ς ἐπιθεῖναι διὰ τὸ καὶ συνεισενην<ο>χέ-ναι εἰς τὴν κατασκευὴν τοῦ μνημείου.ἔξει δὲ καὶ Ὕμν<ο>ς ὁ γέρων δωρεὰν ἠργα- σμένος τὸ μέσον ἐσσόριν. τοῖς δὲ κληρο-νόμοις μου οὐκ ἐπακ̣λουθήσει τοῦτο τὸμνημεῖον. <[61]>[61][[51][—]][51]<[61]>[61][[51][—]][51]

**Αναθεματική επιγραφή από τη Σμύρνη, ISmyrn 216**
τῇ εὐσεβεστάτῃ κα[ὶ εὐ]-τυχεστάτῃ γλυκυτ[άτῃ]γυναικὶ Κοΐντᾳ β΄ Τελέσ[φο]-ρος Μηνογ[ένους? —] ΙΔ.Ο[ τὴν σορὸν? κατεσκεύα]-σε. κήδεται ἡ γερουσ[ία].

**Αναθεματική επιγραφή από τη Σμύρνη, Robert, BCH 101, 1977, 43-54**
1.Θαλήαι καὶ τοῖς ἰδίοις πᾶσι· ὃ καὶ τοῦτο τὸμνημῆον κληρονόμωι οὐκ ἀκολουθήσει·μηδενὶ δὲ ἐξέστω τοῦτο τὸ μνημῆ-ον ἢ μέρος τι αὐτοῦ μήτε πωλῆσαι μήτε μεταθεῖναι μήτε ἐξαλλοτριῶσαι μήτε δό-λωι πονηρῶι τι πο[ι]ῆσαι· ὁμοίως δὲ μηδενὶ ἐξ-έστω ἀγοράσαι αὐτὸ ἢ δόλωι πονηρῶι τι ποιῆσαι.τῷ δὲ ὑπεναντίον τούτοις τι ποιήσαντι ἢ πω-λήσαντι ἢ μεταθέντι ἢ δόλωι πονηρῶι τι ποιήσαν- τι μήτε γῆ εἴη βατὴ μήτε καρποὺς ἐκ γῆς ἢ ἐκ θα-λάσσης ἱλαροὺς εἴη δέξασθαι, οἵ τε θεοὶ οἱ οὐρά-νιοι καὶ οἱ κατὰ γῆς δαίμονες κεχολωμένοι αὐτῶ-ι καὶ γένει αὐτοῦ εἴησαν· καὶ ὁ παρὰ ταῦτα ποιήσας ἢ πω-λήσας ἢ μεταθεὶς ἢ ἀγοράσας ἀποτεισάτω τῆι Ζμυρ- ναίων γερουσίᾳ ἀργυρίου δηνάρια δισχείλια καὶ τῶ-ι ἐπεξελευσομ[ένωι —]γμα ἀργυρίουδηνάρια χείλια, καὶ οὐδὲ[ν ἧσσον —]..ΝΤ.ΝΚ[—].

**Αναθεματική επιγραφή από την Ηράκλεια Σαλβάκη της Καρίας, Robert, La Carie II no. 110**
Ἀμβείβη[α — χρησ]τὴ χαῖρε.ν ὁ δῆμος. ἡ γ[ερουσία.] ὁ δῆμος ὁ Λεβεδίων.vacat οἱ ν[έ]οι. ὁ δῆμος Κλαζομενίων. vacat οἱ Ῥωμαῖοι. Vacat Μυριάδος τόδε σ[ᾶμα] δέ[δεκτ]α[ι] .τ[όστέα μοῦνα,]ψυχὰς ἐς μακάρων νᾶσον ἀποπταμένας.Ἕρμ[ος δ' ἀδάκρυτος· χάριτες γὰρ ἀν' ἠ[ρί]α κε[ίνας][ἔ]ργουσιν στοναχὰς καὶ γόον ὠγύγιον. [—]Σ[—]

**Αναθεματική επιγραφή από την Έφεσο, ΙEph 1648, αυτοκρατορική περίοδος**
τὸ μνημεῖόν ἐστιΠοπλίας <Ἰ>ουλεία<ς> Βηρύλας καὶτὰ τέκνα αὐτῆς· ζῶσιν.καὶ τοῦ συνβίου αὐτῆς Μενάν- δρου· vacat ζῇ·Τάλου υἱοῦ αὐτοῦ· ζῇ· καὶῬωσκιλίας Εὐτυχίας γυναικὸςαὐτοῦ. τοῦτο τὸ μνημῆονέάν τις πωλήσῃ, ἀποτείσει τῇ γερουσίᾳ ͵ε.

**Αναθεματική επιγραφή από το Ξάνθο της Λυκίας, ρωμαϊκή περίοδος**

τὸ ἡρῷον Οὐηρανίας Μίου Ξ%81?ανθίας,ἐν ᾧ ταφήσετα%81?ι αὐτὴ καὶ τὰ ἐξ αὐτῆς τέκνα· ἑτέρῳ δὲ μὴ ἐξὸν εἶναι τεθῆναι,ἢ ὀφειλέσει τῇ Ξανθίων γερουσίᾳ χ΄. γεναμένην γυναῖκα Ἀπολλωνίου τοῦ Πολυστράτου.

# 5. Γυναίκες ως μέλη της Γερουσίας

**Τιμητική επιγραφή από την Ηράκλεια Σαλβάκη της Καρίας, Robert, La Carie II no. 67, 54-68 μ.Χ.**
[ἡ βουλὴ κ]α̣ὶ ὁ δῆ[μος] κ̣αὶ ἡ γερουσία vacat ἐτείμησαν ❦ Ταтην θ̣υγατέρα Γλύκωνος τοῦ Γλύκωνος, στεφανηφόρου δὶς καὶ γυμνασιάρχου, ἱερατεύσαντος δὲ καὶ τοῦ Ἡρακλέους καὶ προγραφέντος τῆς βου- λῆς, ἁγνήν, γυμνασιαρχήσασαν καὶ διὰ .τ[ὴν] περὶ τὸν βίον σωφροσύνην ἀξιωθῖσαν το[ῦ] ἱερωτάτου τῶν γερεῶν συστήματος πρώτη γυνεικῶν, ἐστεφανηφορηκυῖαν λαμπρῶς καὶ δεδωκυῖαν ἰς τὴν κατασκευὴ[ν] τοῦ σεβαστοῦ Ἡρακλίου ὑπὲρ μὲν τοῦ ἐπ̣[ικε]- φαλίου τῶν πολιτῶν δισχ[ίλ]ια τριακόσια τεσ[σα]- ράκοντα.

**Κατάλογος ένταξης νέων μελών στη Γερουσία από τη Σεβάστεια της Φρυγίας, BCH 7.1883.452,2, 98-99 μ.Χ.**
ἀγαθῇ τύχη.[ἔτ]ους ρπγ´. ἐπὶ ἱερέων Ἀσκληπιάδου[τ]οῦ Ἑρμογένους καὶ Ξάνθου Ἀρτέμωνοςοἱ ἰσελθόντες [ε]ἰς τὴν γερουσίαν. Θεογένης Παπᾶ τοῦ καὶ Ἀντωνίου, I.6 [Ἀ]ριστώνις Γλύκωνος, Μένανδρος Διονυσίου, Πάπας Κέλσου, Διόδωρος Μηνοφίλου, Διονύσιος Ἀριστέου, Ἡλίας Ἀπολλωνίου, Θεογένης Θεογένους ἰατρὸς, Ἱππόνεικος Ἀρτεμιδώρου, Διονύσιος Νίγερος, Δάδης Ἀλεξάνδρου, Φίρμιος Πατροκλέους, Μόσχος Ἱππονείκου,Νεικασίων Βύλλωνος {[27]corr. Κύλλωνος Robert}[27], Εὔφραστος Καίσαρος, Μάρκος Οὐαλέριος Κρίσφος στρατιώτης, Ἀθάνις Ἀπελλᾶ, Ἑρμογένης Νεικασίωνος, Κούαρτος Ἀπολ-λωνίου, Μόσχος Μενάνδρου, Πατροκλῆς Διοδώρου, Μόσχος Ἀπελλᾶ, Ῥωμαῒς Ἀπολλωνίου, Πρωτᾶς Ἀντιφῶντος, Μηνόφιλος β´ Λέπιδος φύσει Εὐπάτορος, Μ. · Οὐαλέριος Φλέγων, Ἄτταλος Ἀρτεμιδώρου,Μελίτων Κώκου, Σισίνης Μενεστράτου, Νείκας Τειμοθέου, Γάϊος Καρβεἰλις Γαΐου υἱὸς Φαβία Μιθραδάτης, Δημητρείος Ἀππᾶ, Ἀλέξανδρος Μελίτωνος Λονγεῖνος, Διόδωρος Ξανθίππου Γεῖνος, Πάπας Ἀμφικάτου, Μελίτων Μελίτωνος, Ἀλέξανρος Τειμοθέου, Διόδωρος Τίτου, Γέμιος {[27]Γέ<λλ>ιος?}[27] Δάδων, Ἰουλία Τευθρα[ντὶς] Πρόκλο[υ] θυγ[άτηρ], II.6 Διόδωρος [Ἱπ]ποδάμου, Διονύσιος Διονυσίου, Ἀσκλᾶς Κέλσου, Θευδᾶς Ἀριβάζου, Μόσχας Μενεστράτου, [Μ]ενεσθεὺς Θευδᾶ,Ἀλέξανδρος Θευδᾶ,Μηνόκριτος Ξάνθου,Ἄνδρων Διοδώρου, Ἱππόνικος Ἀντιφῶντος, Ἀλέξανδρος Μενάνδρου, Γλύκων Ἀριστώνιδος,Ἀντιφῶν Πρωτομάχου, Γ. · Ἰούλιος Προκλὸς,Κλαυδία Τευθραντὶς, Γ. · Ἰούλιος Προκλὸς υἱὸς,Ἰουλία Ἰουλιάνη θυγάτηρ,Γ. · Ἰούλιος Προκλὸς Αἰλιανὸς, Γ. · Ἰούλιος Γερμανὸς,Μόσχας Ἀππᾶ,Ἄντυλλος Φιλοπάτορος,Διονύσιος Διονυ-σίου Φλαουιανὸς, Ὦλος · Ἄλφιος · Ἄπερ, Ἀριστέας Διονυσίου, Κράτης Ἱπ-ποδάμου, Νεικόμας Σόλωνος, Ἀπελλᾶς Ἀπελλᾶ, 38 Εὐμένης Ἀπολ-λωνίου , Πάπας Μηνοκρίτουτοῦ καὶ Μοντάνου,Ἀνδρέας Μάρ-κου,Διόδωρος Πατροκλέως.

**Τιμητική επιγραφή από τη Θεσσαλονίκη, IG X,2 1 177, μέσα τρίτου αιώνα μ.Χ.**
1 ἀγαθῆ·ι· v τύχη·ι·.{[2]regulae}[2]2 ἡ βουλὴ καὶ ὁ δῆμος τῆς λαμπροτάτης Θεσ-σαλονεικαίων μητρο- πόλεως καὶ κολωνεί- ας καὶ τετράκις νεω-κόρου Φλαβίαν Κλαυ- δ̣ί̣αν Σιλβανὴν τὴν [ἀξι]ολογωτάτην [ἀρχι]έρειαν καὶ γε❦-[ρουσ]ιάρχισσαν τει- [μ]ῆ[ς] καὶ εὐνοίας ἕ-νεκεν. εὐτυχῶς.

# Πηγές που αφορούν τη σχέση του Γυμνασίου με τη γυναίκα

**Τιμητική επιγραφή από την Ηράκλεια Σαλβάκη της Καρίας, Robert, La Carie II no. 67, 54-68 μ.Χ.**
1 [ἡ βουλὴ κ]α̣ὶ ὁ δῆ[μος] κ̣αὶ ἡ γερουσία vacat ἐτείμησαν ❦ Τα̣την θ̣υγατέρα Γλύκωνος τοῦ Γλύκωνος, στεφανηφόρου δὶς καὶ γυμνασιάρχου, ἱερατεύσαντος δὲ καὶ τοῦ Ἡρακλέους καὶ προγραφέντος τῆς βου- λῆς, ἁγνήν, γυμνασιαρχήσασαν καὶ διὰ ̣τ[ὴν] περὶ τὸν βίον σωφροσύνην ἀξιωθῖσαν το[ῦ] ἱερωτάτου τῶν γερεῶν συστήματος πρώτη γυνεικῶν, ἐστεφανηφορηκυῖαν λαμπρῶς καὶ δεδωκυῖαν ἰς τὴν κατασκευὴ[ν] τοῦ σεβαστοῦ Ἡρακλίου ὑπὲρ μὲν τοῦ ἐ̣π̣[ικε]- φαλίου τῶν πολιτῶν δισχ[ίλ]ια τριακόσια τεσ[σα]- ράκοντα

**Τιμητικό ψήφισμα από το Σίλλυον της Παμφυλίας, IGR 3800, 150-200 μ.Χ.**
1 [ἡ βο]υλὴ καὶ ὁ δῆμος ἐτείμησε Μεγακλέα Μεγακλέους, φύσει Ἀπολλωνίου τρὶς Μεγακλέους, δημιουργὸν καὶ γυμνασίαρχον, ἐπιδόντα δι-ὰ τῆς μητρὸς Μηνοδώρας ἐντῷ ἔτει τῆς δημιουργίδος αὐ-τοῦ διανομῆς ἑκάστωι βου-λευτῇ (δην.) κ´, γεραίωι δὲ

καὶ ἐ̣[κ]- κλησιαστῆι ἀνὰ (δην.) ιη΄, πολείτ[ῃ]δὲ ἀνὰ (δην.) β΄, ἀπ̣[ε]λευθέροις δὲ καὶπαροίκοις ἀνὰ (δην.) α΄, ἔτι ἐπιδόντα δι-ὰ τῆς μητρὸς καὶ εἰς τροφὰς παίδωνἀργυρίου μυ(ριάδας) λ΄· ἥτις κατεσκεύασε τόν τε ναὸν καὶ τὰ ἐν τῶι ναῶι ἱε[ρὰ], τά τε ἀργύρεα τρία ἀπὸ μυ(ριάδων) α΄ καὶ (δην.) [͵α], καὶ τὸ τῆς Τύχης ἱερὸν ἀκρελε-φάντινον ἐπίχρυσον σὺν τοῖςπαρέργοις περὶ τὴν βάσιν κα[ὶ] τὴν ἀργύρεον τράπεζαν καὶ τὰπλινθεῖα καὶ τὰς στοὰς καὶ τὸν ἀνδριάντα, πάντα εἰς μνήμην καὶ τειμὴντοῦ υἱοῦ αὐτῆς.

**Τιμητικό ψήφισμα από το Σίλλυον της Παμφυλίας, IGR 3.801, 150-200 μ.Χ.**

[ἡ γ]ερουσία καὶ ὁ δῆμος ἐτ[είμη]-[σεν] ἱέρειαν θεῶν πάντων καὶ [ἱε]-[ρο]φάντιν διὰ βίου καὶ δεκά[πρωτον]Μηνοδώραν Μεγακλέους, [δημι]- ουργὸν καὶ γυμνασίαρχον [ἐλαί]-ου θέσει, θυγατέρα δημιουρ[γοῦ καὶ]δεκαπρώτου καὶ γυμνασιά[ρχου]ἐλαίου θέσει, ἐπιδοῦσαν ὑ[πὲρ]τοῦ υἱοῦ Μεγακλέους τῇ π[ατρί]-δι εἰς παίδων τροφὰς ἀργυρ[ίου]μυρίαδας τριάκοντα, ἔτι ἐ[πιδοῦ]-σαν ἕν τε τῇ ἰδίᾳ γυμνασια[ρχίᾳ]καὶ τῇ τοῦ υἱοῦ δημιουργί[δι καὶ]τη ἰδίᾳ δημιουργίδι καὶ τῇ [τῆς] θυγατρὸς γυμνασιαρχίᾳ [βου]-[λ]ευτῇ μὲν ἑκάστωι δηνάρια πε΄, γε[ραιῷ]δὲ ἑκάστωι (δην.) π΄, ἐκκλησιαστ[ῇ]δὲ ἑκᾶστῳ (δην.) οζ΄, γυναιξὶ δὲ το[ύ]-των ἑκάστῃ (δην.) γ΄, πολείτῃ δὲ ἑ[κά]- στῳ (δην.) θ΄, οὐινδικταρίοις δὲ κ[αὶ]ἀπελευθέροις καὶ παροίκοις [ἀ]-νὰ (δην.) γ΄· τόνδε ἀνδριάντα ἀν[έ]-στησεν φυλὴ ι΄ Μεαλειτίδων.

**Τιμητικό ψήφισμα από το Σίλλυον της Παμφυλίας, IGR 3802, 150-200 μ.Χ.**

[ἡ β]ου[λὴ καὶ][ὁ δῆμος] ἐτείμησενἀρχιέρειαν τῶν Σεβασ-τῶν, ἱέρειαν Δήμητρος καὶ θεῶν πάντων καὶ ἱερο-φάντιν τῶν πατρίων θεῶ[ν]καὶ κτιστρίαν καὶ δημιουργ[ὸν]καὶ γυμνασίαρχον ἐλαίου θέ-[σει Μ]ηνοδώραν Μεγακλέους τ[ε]- [λεσαμ]ένην δεκαπρωτίαν, θυγα[τέ]-[ρα καὶ] ἐγγόνην καὶ ἀπόγονον[ἀρχιερέ]ων καὶ δημιουργῶν [καὶ][γυμνασ]ιάρχων ἐλαίου θέσει καὶ δεκαπρώτων, ἐπιδοῦσαν ἕν τε τ[ῇ] δημιουργίδι καὶ τῇ γυμνασιαρχ[ίᾳ]καὶ τῇ ἀρχιερωσύνῃ καὶ ταῖς ἱε-ρωσύναις καὶ ἐν τῇ τοῦ υἱοῦ δ[ημι]-ουργίδι καὶ ἐν τῇ τῆς θυγατρὸς [γυ]-μνασιαρχίᾳ ἑκάστῳ βουλευτ[ῇ] ἀνὰ (δην.) πη΄ ❦ καὶ σείτου μό(διον) α΄,γέραιῷ δὲ ἑκάστῳ (δην.) πα΄ καὶ[σ]είτου μό(διον) α΄, ❦ ἐκκλησιαστῇ δὲ[ἑ]κάστῳ (δην.) οη΄, καὶ σείτου μό(διον) α΄,γυναιξὶ δὲ τούτων ἑκάστῃ (δην.) γ΄, [οὐι]νδικταρίοις δὲ καὶ ἀπελευθέροις[ἑκ]άστῳ (δην.) δ΄, ❦ ἔτι ἐπιδοῦσαν ὑπὲρ τοῦ[υἱο]ῦ αὐτῆς Μεγακλέους τῇ πατρίδι [εἰς][παί]δων τροφὰς ἀργυρίου (δην.) μυ(ριάδας) λ΄

**Αναθεματική επιγραφή από τη Τερμησσό της Πισιδίας, TAM III 1, 123, τρίτος αιώνας μ.Χ.**

βουλῆς καὶ [δ]ή̣μου δόγματι Μει- διανὸν Π̣λατωνιανὸν Πλάτω- να, τὸν κτίστην τοῦ γυμνασίου καὶ δι’ αἰῶνος γυμνασίαρχον, υἱὸν πόλεως καὶ φιλόπα- τριν, κτίστην καὶ ἑτέρων ἔργων μετὰ καὶ τῆς γυναι-κὸς αὐτοῦ Αὐρ(ηλίας) Αρτεμειτος Θόαντος Ἑρμαίου, μητρὸς βουλῆς, τῆς κρατίστης. Τὸν δὲ ἀνδριάντα ἀνέστησεν Αὐρ(ήλιος) Μολης δὶς Κοσαμα, τὸν πάτρωνα.

**Τιμητική επιγραφή από την Έφεσο, IEph 980, 180-192 μ.Χ.**

ἀγα[θῇ]τύ[χῃ·][Κ]λ(αυδίαν) Κράτεια[ν Οὐηριανὴν][συ]νκλητικήν, τὴν πρύ[τανιν] [καὶ] γυμνασίαρχον [πάν]των τῶν γυμν[ασίων][...] σεμνῶς [……c.16…… ἱερῆν καὶ][κοσ]μήτειραν τ[ῆς ἁγιωτάτης Ἀρ]τέμιδος, ἱε-[ρατεύ]σασαν ἀξίως [καὶ σεμνῶς, θυγ]ατέρα πρὸς [μὲν] πατρὸς Κλ(αυδίου) Μητροβίου Οὐη[ρ]ιανοῦ, ὑοῦ[Κλ(αυδίου) Μη]τροβίου καὶ Κλ(αυδίας) Κρατείας ἀ[ρχι]ερέων,[πρὸς δ]ὲ μητ[ρ]ὸς Οὐλ(πίας) Δημοκρατείας κοσμη-[τείρη]ς, ἐγγόνην Ἰουλ(ίας) Δαμιανῆς Πώλλης[ἱερῆς κ]αὶ κοσμητείρης καὶ πρυτάνεως, [προεγ]γόνην Φλ(αουίας) Πώλλης

ἱερῆς καὶ κοσ-[μητεί]ρης, ἀπογόνην δὲ Ἰουλ(ίας) Πώλλης[ιερῆς κ]αὶ κοσμητείρης καὶ ἀρχιερείας[καὶ πρυτά]νεως καὶ Μινδίας Ποτεν-[τίλλης ἀ]ρχιερείας καὶ κοσμητείρης, 20 [ἀνάγουσα]ν τὸ γένος ἐκ τῶν ἱερειῶν[καὶ κοσμη]τειρῶν.

**Θραύσμα από επιγραφή που βρέθηκε σε γυμνάσιο στην Έφεσο, IEph 488, δεύτερος αιώνας μ.Χ.**
ἀγ[αθῇ τύχῃ·] / [Αἰλί]α Σεβῆ[ρα Βάσσα πρύτανις καὶ γυμνασίαρχος πάντων] / [τῶν]γυμνασ[ίων θυγάτηρ Αἰλίου] / [Πυθί]ων̣ος [φιλοσεβάστου.

**Τιμητικές επιγραφές από τη Τερμησσό της Πισιδίας, TAM III,1 57 και 58, 200-220 μ.Χ.**
1 βουλῆς καὶ δήμου δόγματι Αὐρ(ηλίαν) Αρτεμειν Θόαντος Ἑρμαί-ου, τὴν κρατίστην, μητέρα βου-λῆς, 5 φιλόπατριν καὶ δι’ αἰῶνος γυμνασίαρχον, κτίστριαν καὶ αὐτὴν τοῦ γυμνασίου καὶ ἑτέρων ἔργων μετὰ τοῦ ἀν-δρὸς αὐτῆς Μειδιανοῦ Πλά-10 τωνος. τὸν δὲ ἀνδριάνταἀνέστησεν Αὐρ(ήλιος) Μοληςδὶς Κοσαμα, τὴν πατρώνισσαν.

1 Αὐρηλίαν Αρτεμ̣ε̣[ι]ν Θόα̣ν[τος][Ἑ]ρμαίου, μητέρα βου̣λ̣[ῆς],κτίστριαν καὶ γυμνασίαρχ[ον][ε]ἰς τὸν αἰῶνα, γυναῖκα ἱερέω[ς]5 Ἀ̣πόλλωνος διὰ βίου Μάρ(κου) Αὐρ(ηλίου)[Μ]ειδιανοῦ Πλατωνιανοῦ Πλάτωνος, κτίστου καὶ γυμνασιάρχου, ἡ Ἰδαλωγβασιος φυλή.

**Τιμητική επιγραφή από τη Χίο, SEG XV 532, επί εποχής Νέρωνα 54-68 μ.Χ.**
[Ό δήμος ετείμησε χρυσω στ]ε[φάν]ω Κλαυδί- [αν του δείνα θυ]γατέρα Ήδήαν γ[υμ]νασιαρ- [χήσασαν τε]τράκις καί δίς άλείψασαν την [ττόλιν κατά τ]ήν των Ήρακλήων αγώνων ττανή- 5 [yupw* κ α ί---- ]κις άγωνοθετήσασαν τω ν Ήρα- [κλήων καί *Ρωμ]αίων καί Καισαρήων, καί βασιλευσα- [σαν του τρισκα]ιδεκοατολειτικου τω ν Ίώνων [κοινού, .f;.0.. φιλοδ]οξουσαν κ[α]ί την ττόλιν [....?: λ2.... φ]ιλόττατριν [. . ι]έρηαν δ[ιά βί]- 10 [ου τής Σεβαστ]ής θεας ’Αφροδίτης Λιβίας .?·.*». 142 CHIUS IG XII 6 ----------------V άρετης ενεκα και [κα]λοκ [αγα]-[θί]ας της εις εαυτόν

**Λίστα με προσφορές προς το γυμνάσιο της Γερουσίας της Μητροπόλεως Ιωνίας, SEG XLIX 1522, αυτοκρατορική περίοδος**
Γυναίκα γυμνασίαρχος ( Αλεξάνδρας της Ασκληπιάδου Μύρτου) , γυναίκα πραγματοποιεί προσφορά ( Σταβλία Ναΐς)

**Τιμητική επιγραφή από τα Λίμυρα Λυκίας, Wörrle 2016, 440, δεύτερο μισό του δεύτερου αιώνα μ.Χ.**
γυμνασιαρχήσασα τῆ̣ς/ γερουσίας καὶ σειτομετρή[σασα] / φιλοτείμως καὶ φιλοδόξω[ς] / δ̣οῦσα [ἐκ τοῦ ἰδί]ου ε̣ἰ̣ς τ̣[ὸ τῶν] / γ̣εραιῶ̣ν ἔλα[ιον μετρη] / τὰς ἕξ ἀνέστ[ησεν τὸν]/ ἀνδριάντα ἑαυτῆ[ς. vac.]

**Τιμητικό ψήφισμα από τα Λίμυρα Λυκίας , Wörrle 2016, 405-406, πρώτο μισό του πρώτου αιώνα μ.Χ.**
γυμνασιαρχήσασαν τῶν νέων / καὶ γερόντων (?)---]|ΤΩΝ γαιῶν καὶ δικα̣ίω̣ς τὴν φ̣ωνὴ[ν] / [--- καὶ]| ἀλείψασαν ἐκκ τῆς ἰδίας οὐσία[ς] / τοὺ̣ς τ̣ε νέους καὶ γ̣έ[ρον]τας κα̣ὶ τ̣|[οὺς ἄλλους πολίτας πάντας καὶ πα] / ροίκους καὶ ξένους καὶ Ῥωμαίους κ̣[α|ὶ ἀν]αδοῦσα̣ν [τῆι πόλει τὸ ἀποτε] / ταγμένον ἔλαιον αὐτῆι ὑπὸ τ̣ο̣ῦ̣ δ[ήμ|ο]υ καὶ τὸ ἐκκείμενον ἀρ[γύριον εἰς] / τὴν λοῦσιν τοῦ βαλανείου καὶ λο̣ύ|[σα]σαν ἐκκ τῆς ἰδίας οὐσίας / ἀναλογούντως τῆι τῶν προγ[ό|νω]ν ἀρετῆι.

**Τιμητική επιγραφή από την Αφροδισιάδα της Καρίας, MAMA 8, no. 492b, αυτοκρατορική περίοδος**

1 ἡ βουλὴ καὶ ὁ δῆμος καὶ ἡ γερο[υσία]ἐτείμησαν ταῖς πρώταις τειμα[ῖς]Τάταν Διοδώρου τοῦ Διοδώρου το[ῦ φύ]-σει Λέοντος, ἁγνὴν ἱέρειαν Ἥρας διὰ βίου, μητέρα πόλεως, γυναῖκα γενομένην καὶ μείνασαν Ἀττάλου τοῦ Πυθέου στεφανηφόρου, καὶ αὐτὴν γένους πρώ-του καὶ λαμπροῦ, ἱερατεύσασαν τῶνΣεβαστῶν ἐκ δευτέρου ἀλείψασαν δὶς δρακτοῖς ἐκ λουτήρων ἐπιρύτοιςδαψιλέστατα τὸ πλεῖστον μέρος καὶ τῆςνυκτός, στεφανηφορήσασαν, θύσασανπαρ' ὅλους τοὺς ἐνιαυτοὺς ὑπὲρ τῆς ὑγή-ας τῶν Σεβαστῶν, ἑστιάσασαν τὸν δῆμον πλεονάκις καὶ πανδήμοις κατακλίσεσιν,ἔν τε τοῖς θυμελικοῖς καὶ σκηνικοῖς ἀγῶ-σιν τὰ πρωτεύοντα ἐν τῇ Ἀσίᾳ ἀκροά-ματα αὐτὴν πρώτως ἀγαγοῦσαν καὶ δεί-ξασαν τῇ πατρίδι, ὡς ἐπὶ τὴν δεῖξιν τῶν ἀκροαμάτων συνελθεῖν καὶ συνεορτά-σαι τὰς ἀστυγειτνιώσας πόλεις, γυναῖκα μηδενὸς ἀναλώματος φεισαμένην, φι-λόδοξον, ἀρετῇ σωφροσύνῃ κεκοσμημένην.

**Βιβλιογραφία**


- Bremen R. van, "A Family from Sillyon'', ZPE 104, 1994, 43-56
- Bremen R. van, The limits of participation: Women and civic life in the Greek East in the Hellenistic and Roman periods, Άμστερνταμ 1996
- Bremen R. van "Women and Wealth." In Images of Women in Antiquity, edited by Averil Cameron and Amelie Kuhrt, 223-242. Detroit: Wayne State University Press, 1993.
- Kearsley R. A., "Women in public life in the Roman East: Iunia Theodora, Claudia Metrodora and Phoebe, benefactress of Paul'', Tyndale Bulletin 50.2, 1999, 189- 211
- Kearsley R., "Women and public life in Imperial Asia Minor'', AWE, τ. 4, 2005, 98-121
- Mantas K., Civic decline and female power: Women's new position in the Greek world under Roman rule, 1994
- Mantas K., "Independent Women in the Roman East: Widows, Benefactresses, Patronesses, Office-Holders'', ElRENE XXXllI, 1997, 81-95
- Mantas K., "Marriage in the Roman Imperial period'', Polis 11, 1999, 111- 134
- Mantas K., "Public and Private'', Polis 12, 1999, 181-228
- Meyers R., " Reconsidering Opportunities for Female Benefactors in the Roman Empire: Julia Antonia Eurydice and the Gerontikon at Nysa, L'Antiquité Classique 81, 2012, 145-159
- Wörrle M., "Epigraphische Forschungen zur Geschichte Lykiens XI: Gymnasiarchinnen und Gymnasiarchen in Limyra'', Chiron 46, 2016, 403-451
- Μαντάς Κ. "Γυναίκα και πολιτική στην αρχαία Ελλάδα και τη Ρώμη" Αρχαιολογία 117, 2010, 53-64
- Μαντάς Κ. " Οι γυναίκες της ελληνορωμαϊκής ελίτ: από τον ιδιωτικό στο δημόσιο χώρο ", Αρχαιολογία 69, 1998, 6-9